Debet etiam hoc non latuiſſe, quales conueniat ſecundum locum magiſtratus plurimum curam habere, & qualium vbique in vnum magiſtratum poteſtate habere, ceu honeſtatis. vtrum in foro præfectum annonæ, & alium alibi, aut vbique eundem. & vtrum ſecundum negocia partiendum eſt, an ſecundum perſonas. dico autem, ceu vnam curam honeſtatis, alium puerorum & alium mulierum. & in rebuſpublicis, vtrum differunt ſecundum vnamquanque & magiſtratuum genus, vel nihil ceu in populari ſtatu, & paucorum gubernatione, & optimatum, & monarchia, vtrum idem ſunt magiſtratus poteſtatem habentes, ſed non ex æqualibus, aut ſimilibus, ſed alij in alijs. veluti in optimatibus quidem ex hominibus doctis, in paucorum autem potentia ex opulentis in populari ſtatu ex ingenuis. vel exiſtant quidam ſecundum iſtas differentias magiſtratuum, & alicubi conferat eoſdem eſſe, alicubi diuerſos: alicubi enim congruit magnos eſſe, alicubi paruos eoſdem magiſtratus. Veruntamen ſunt aliqui proprij ceu eorum qui ante deliberant. hæc enim poteſtas non eſt popularis, conſilium verò populare. oportet enim eſſe aliquid tale, cui cura ſit populum conſilio præuenire, ne ocioſus ſit. hi autem ſi pauci ſunt numero, paucorum potentia eſt. eſt autem neceſſe vt illi ſint pauci, qui ante deliberant: itaque paucorum potentia eſt, ſed vbi ſunt ambo hi magiſtratus, illi qui ante deliberant conſiliarijs conſtituunt. conſiliarius enim popularis: qui verò ante venit in conſulendo & deliberando paucorum potentię. Diſſoluitur etiam poteſtas conſilij in huiuſmodi gubernationibus, quibus populus ipſe conueniens de omnibus conſtituit. hoc autem accidere conſueuit, cùm eſt vtilitas quædam aut merces conſtituta his qui in contentionem conueniunt. ocioſi enim conueniũt perſæpe, & de cunctis ipſi ſtatuunt. Qui autem puerorum curam habent, & qui mulierum, & ſi quis alter eſt qui poteſtatem habet & curam huiuſmodi, optimatum, id eſt & non populare: (fieri enim non poteſt vt prohibere pauperum mulieres alterius ſit quàm paucorum potentiæ) cùm mulieres ipſorum in deliciis viuant. Sed de his quidē eatenus dixiſſe nũc ſatis ſit. De conſtituendis autem magiſtratibus conādum eſt iā tranſigere, Conſiſtũt

A ἀρχήν. ἁρμόττει δὲ καὶ τοῦτο μὴ λεληθέναι, ποῖα δεῖ κατὰ τόπον ἀρχεῖα πολλῶν ἐπιμελεῖσθαι, καὶ ποίων πανταχοῦ μίαν ἀρχὴν εἶναι κυρίαν· οἷον, εὐκοσμίας, πότερον ἐν ἀγορᾷ μὲν ἀγορανόμον, ἄλλον δὲ κατ' ἄλλον τόπον, ἢ πανταχοῦ τὸν αὐτόν. καὶ πότερον κατὰ τὸ πρᾶγμα δεῖ διαιρεῖν, ἢ κατὰ τοὺς ἀνθρώπους· λέγω δ' οἷον ἕνα τῆς εὐκοσμίας, ἢ παίδων ἄλλον, καὶ γυναικῶν. καὶ κατὰ τὰς πολιτείας B δέ, πότερον διαφέρει καθ' ἑκάστην καὶ τὸ τῶν ἀρχῶν γένος, ἢ οὐθέν· οἷον, ἐν δημοκρατίᾳ, καὶ ὀλιγαρχίᾳ, καὶ ἀριστοκρατίᾳ, καὶ μοναρχίᾳ, πότερον αἱ αὐταὶ μέν εἰσιν ἀρχαὶ κύριαι, οὐκ ἐξ ἴσων δέ, οὐδ' ἐξ ὁμοίων, ἀλλ' ἕτεραι ἐν ἑτέραις· οἷον ἐν μὲν ταῖς ἀριστοκρατίαις ἐκ πεπαιδευμένων· ἐν δὲ ταῖς ὀλιγαρχίαις, ἐκ πλουσίων· ἐν δὲ ταῖς δημοκρατίαις, C ἐκ τῶν ἐλευθέρων. ἢ τυγχάνουσι μέν τινες οὖσαι καὶ κατ' αὐτὰς τὰς διαφορὰς τῶν ἀρχῶν· ἔστι δ' ὅπου συμφέρουσιν αἱ αὐταί, καὶ ὅπου διαφέρουσιν. ἔνθα μὲν γὰρ ἁρμόττει μεγάλας, ἔνθα δ' εἶναι μικρὰς τὰς αὐτάς. οὐ μὴν ἀλλὰ καὶ ἴδιαί τινές εἰσιν· οἷον ἡ τῶν προβούλων· αὕτη γὰρ οὐ δημοκρατική. βουλὴ δὲ δημοτικόν. δεῖ μὲν γὰρ εἶναί τι τοιοῦτον, ᾧ ἐπιμελὲς ἔσται τοῦ δήμου προβουλεύειν· ὅπως D ἀσχολῶν ἔσται· τοῦτο δέ, ἂν ὀλίγοι τὸν ἀριθμὸν ὦσιν, ὀλιγαρχικόν· τοὺς δὲ προβούλους ὀλίγους ἀναγκαῖον εἶναι τὸ πλῆθος· ὥστ' ὀλιγαρχικόν. ἀλλ' ὅπου ἄμφω αὗται αἱ ἀρχαί, οἱ πρόβουλοι καθεστᾶσιν ἐπὶ τοῖς βουλευταῖς. ὁ μὲν γὰρ βουλευτής, δημοτικόν· ὁ δὲ πρόβουλος, ὀλιγαρχικόν· καταλύεται δὲ καὶ τῆς βουλῆς ἡ δύναμις ἐν ταῖς τοιαύταις δημοκρατίαις, ἐν αἷς αὐτὸς συνιὼν ὁ δῆμος χρηματί- E ζει περὶ πάντων. τοῦτο δὲ συμβαίνειν εἴωθεν, ὅταν εὐπορία τις ᾖ ἢ μισθὸς τοῖς ἐκκλησιάζουσι· σχολάζοντες γὰρ συλλέγονταί τε πολλάκις, καὶ ἅπαντα αὐτοὶ κρίνουσι. παιδονόμος δέ, καὶ γυναικονόμος, καὶ εἴ τις ἄλλος ἄρχων κύριός ἐστι τοιαύτης ἐπιμελείας, ἀριστοκρατικόν· δημοκρατικὸν δ' οὔ· πῶς γὰρ οἷόν τε κωλύειν ἐξιέναι τὰς τῶν ἀπόρων; οὐδ' ὀλιγαρχικόν· τρυφῶσι γὰρ αἱ τῶν ὀλιγαρ- F χούντων. ἀλλὰ περὶ μὲν τούτων, ἐπὶ τοσοῦτον εἰρήσθω νῦν. Περὶ δὲ τὰς τῶν ἀρχῶν καταστάσεις πειρατέον ἐξ ἀρχῆς διελθεῖν. εἰσὶ δ' αἱ διαφοραὶ ἐν τρισὶν ὅροις· ὧν συντιθεμένων, ἀναγκαῖον πάντας εἰλῆφθαι τοὺς τρόπους. ἔστι δὲ τῶν τριῶν